Ακαδημία Αθηνών / Academy of Athens

**ῥίζωμα.** «Ρίζωμα»/πρωταρχικὸ στοιχεῖο, 'root'/principle element, Ἐμπεδοκλῆς 6.1-3 *τέσσαρα γὰρ πάντων ῥ ι ζ ώ μ α τ α πρῶτον ἄκουε· Ζεὺς ἀργὴς Ἥρη τε φερέσβιος ἠδ' Ἀιδωνεὺς Νῆστίς θ', ἣ δακρύοις τέγγει κρούνωμα βρότειον.* Πρβλ. *ῥίζα, ἀρχή.*

**ῥίζωσις.** Ρίζωση, rooting, Φιλόλαος 13.2 *κεφαλὰ μὲν νόου, καρδία δὲ ψυχᾶς καὶ αἰσθήσιος, ὀμφαλὸς δὲ ῥ ι ζ ώ σ ι ο ς καὶ ἀναφύσιος τοῦ πρώτου, αἰδοῖον δὲ σπέρματος [καὶ] καταβολᾶς τε καὶ γεννήσιος.* Πρβλ. *καταβολή, ῥίζα.*

**ῥῖνες** (συνών. *μυκτῆρες*). Ρουθούνια, nostrils, Ἡράκλειτος 7 *εἰ πάντα τὰ ὄντα καπνὸς γένοιτο, ῥ ῖ ν ε ς ἂν διαγνοῖεν.*

**ῥινός.** Δέρμα, skin, Ἐμπεδοκλῆς 100.4 *ἐπὶ στομίοις πυκιναῖς τέτρηνται ἄλοξιν ῥ ι ν ῶ ν ἔσχατα τέρθρα.*

**ῥιπή.** Ριπὴ/ἀκτινοβολή, flash/ray, Ἐμπεδοκλῆς 56 *ἅλς ἐπάγη ῥ ι π ῇ σ ι ν ἐωσμένος ἠελίοιο.*

**ῥοή.** Ροή, flow, Ξενοφάνης 2.3 *πὰρ Πίσαο ῥ ο ῇ σ' ἐν Ὀλυμπίῃ.* Πρβλ. *ῥόος.*

**ῥόμβος.** «Ρόμβος»/ὄργανο χρησιμοποιούμενο στὰ μυστήρια, spinning thing/instrument used in the mysteries, Ἀρχύτας 1.46 *ἀλλὰ μὰν καὶ τοῖς ῥ ό μ β ο ι ς τοῖς ἐν ταῖς τελεταῖς κινουμένοις τὸ αὐτὸ συμβαίνει· ἡσυχᾷ μὲν κινούμενοι βαρὺν ἀφιέντι ἆχον, ἰσχυρῶς δέ, ὀξύν.*

**ῥόος.** Ροῦς, current, Ἐμπεδοκλῆς 100.14 *εἰσόκ' ἀποστεγάσῃ πυκινὸν ῥ ό ο ν.* Πρβλ. *ῥοή.*

**ῥυθμός** (τύπ. *ῥυσμός*) **1.** Διαρθρωτικὸ σχῆμα/μορφή, shape/form, Λεύκιππος A 6 (DK II 72,21 καὶ 30) *ῥ υ σ μ ῷ καὶ διαθιγῇ καὶ τροπῇ ... ῥ υ σ μ ὸ ς* A 28 (DK II 78,21) *ῥ υ σ μ ο ὺ ς* Δημόκριτος A 38 (DK II 94,7) *ῥ υ σ μ ὸ ς τροπὴ διαθιγὴ* A 125 (DK II 112,30) *διαταγῇ ... ῥ υ θ μ ῷ ... προτροπῇ* 5i (τίτλ.) *Περὶ τῶν διαφερόντων ῥ υ σ μ ῶ ν ⟨ἢ Περὶ ἰδεῶν⟩* **2.** Ρυθμός, rhythm, Δημόκριτος 15c (τίτλ.) *Περὶ ῥ υ θ μ ῶ ν καὶ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*ἁρμονίης* **3.** Πολιτειακὸ σύστημα, political system, Δημόκριτος 266.2 *οὐδεμία μηχανὴ τῷ νῦν καθεστῶτι ῥ υ θ μ ῷ μὴ οὐκ ἀδικεῖν τοὺς ἄρχοντας.*

**ῥυσμός.** Βλ. **ῥυθμός.**

**ῥυσμοῦσθαι.** Ρυθμίζομαι/διαμορφώνομαι, be arranged/be shaped, Δημόκριτος 197 *ἀνοήμονες ῥ υ σ μ ο ῦ ν τ α ι τοῖς τῆς τύχης κέρδεσιν, οἱ δὲ τῶν τοιῶνδε δαήμονες τοῖς τῆς σοφίης.* Πρβλ. *ῥυσμός.*

**ῥώμη.** Ρώμη/σωματικὴ δύναμη, bodily strength, Ξενοφάνης 2.11-14-18 *ῥ ώ μ η ς γὰρ ἀμείνων ... ἡμετέρη σοφίη ... οὐδὲ δίκαιον προκρίνειν ῥ ώ μ η ν τῆς ἀγαθῆς σοφίης ... ῥ ώ μ η ς ὅσσ' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι πέλει.*

**ῥώννυσθαι.** Ὑγιαίνω/νοιώθω εὔρωστος, be healthy/feel strong, Δημόκριτος 174 *ὁ μὲν εὔθυμος εἰς ἔργα ἐπιφερόμενος δίκαια καὶ νόμιμα καὶ ὕπαρ καὶ ὄναρ χαίρει τε καὶ ἔ ρ ρ ω τ α ι καὶ ἀνακηδής ἐστιν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ